τῶν λαχάνων τούτων καλουμένων τῶν εὐτελῶς καὶ φειδωλῶς ζώντων θυμβρεπίδειπνον. Επιχαλκεύειν.] παιδεύεσθαι οἱονεὶ ἄκμων. Τὸ Χάος τουτί.] Χάος λέγει τὸν ἀέρα. παρὰ τὸ κεχύσθαι. ἐτίμων δὲ καὶ τὴν γλῶτταν καὶ ἤσκουν τὴν

A πολυλογίαν. Οὐδ᾽ ἂν διαλεχθείην.] ἀντὶ τοῦ οὐδὲ προσείποιμι. Οὐκ ἀτυχήσεις.] οὐκ ἀποτεύξῃ. ἀντὶ τοῦ τεύξῃ ὧν ἐθέλεις. δεξιὸς δὲ ἀντὶ τοῦ πεπαιδευμένος.

Εν τῷ δήμῳ γνώμας μεγάλας οὐδεὶς νικήσει
πλείονας ἢ σύ.
Στ. Μή μοί γε λέγειν γνώμας μεγάλας. οὐ γὰρ τούτων ἐπιθυμῶ,
Αλλ᾽ ὅσ᾽ ἐμαυτῷ στρεψοδικῆσαι, καὶ τοὺς χρήστας διολισθεῖν.
Χο. Τεύξει τοίνυν γ᾽ ὧν ἱμείρεις. οὐ γὰρ μεγάλων ἐπιθυμεῖς.
Αλλὰ σεαυτὸν θαρρῶν παράδος τοῖς ἡμετέροις προπόλοισιν. (με πιέζει.
Στ. Δράσω τοῦθ᾽ ὑμῖν πιστεύσας. ἡ γὰρ ἀνάγκη
Διὰ τοὺς ἵππους τοὺς Κοππατίας, καὶ τὸν γάμον ὅς
μ᾽ ἐπέτριψεν.

*Magnas sententias in populo plures queat vincere, quàm tu.*
SI. *Nihil dicatis de magnis sententijs: neque enim expeto nosse:*
B *Sed quantum ad me, facite, vt ius inuertam, perdámque Danistas.*
CH. *Sanè perfacile voti compos eris: neque enim ardua poscis.*
*Sed bono es animo, & nostris teipsum informandum trade ministris.* (torquet,
ST. *Isthuc faciam, vobis fretus: quia me penuria*
*Propter equos Coppatias, & coniugium, quod me male perdit.*

C

Σχόλια. Γνώμας μεγάλας.] δημηγορίας. Στρεψοδικῆσαι.] στρέψαι τὰς δίκας. πρὸς ταύτην δὲ τὴν λέξιν καὶ τὸ ὄνομα πεποίηται τῷ γέροντι Στρεψιάδης. τὸ δὲ τοὺς χρήστας διολισθεῖν. τοὺς δανειστὰς ἐκφυγεῖν. Προπόλοισι] πρόσφυξι καὶ θεράπουσι. λέγει δὲ τοῖς φιλοσόφοις.

πιέζει δὲ, στενοχωρεῖ, ἀναγκάζει. Τοὺς Κοππατίας] μετὰ τοῦ χαράγματος καὶ τοὺς ἐκκεκοφότας αὐτοῦ τὴν οὐσίαν δηλοῖ. Ος μ᾽ ἐπέτριψεν.] ὃς αἴτιός μοι πάντων τῶν συμβάντων κακῶν. ἢ δι᾽ ὃν ἐδυστύχησα.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ

### Σκηνὴ πέμπτη.

### ΣΤΡΕΨΙΑΔΗΣ ΜΟΝΟΣ.

D

## ACTVS I. SCENA V.

### STREPSIADES SOLVS.

BISETVS. Στρεψιάδης ἑαυτὸν ταῖς Νεφέλαις, καὶ τῷ Σωκράτει παντάπασιν διδασκαλίας, καὶ μαθήσεως χάριν ἐπιτρέπει.

Νῦν οὖν χρήσθων ἀτεχνῶς ὅτι βούλονται.
Τουτὶ τό γ᾽ ἐμὸν σῶμ᾽ αὐτοῖσι
Παρέχω τύπτειν. πεινῆν. διψῆν.
Αὐχμεῖν. ῥιγοῦν. ἀσκὸν δέρειν.
Εἴπερ τὰ χρέα διαφευξοῦμαι,
Τοῖς ἀνθρώποις τ᾽ εἶναι δόξω.
Θρασὺς. εὔγλωττος. τολμηρὸς. ἴτης.
Βδελυρὸς. ψευδῶν συγκολλητής.
Εὑρεσιεπής. περίτριμμα δικῶν.
Κύρβις. κρόταλον. κίναδος. τρύμη.

*NVnc ergò vtantur me, vti libitum est:*
*Ego meum hoc corpus præbebo,*
E *Ad percutiendum, esuriendum,*
*Sitiendum, squalescendum, etiam*
*Algendum & pellem excoriandum:*
*Dummodò debita sic effugiam.*
*Neque me commoueat, si me homines*
*Dicant audacem, linguacem,*
*Petulantem, præcipitem, impurum,*
*Nugarum confabricatorem,*
*Fictorem verborum, rabulam,*
F *Crepitaculum & astutam vulpem,*

Σχόλια. Νῦν οὖν χρήσθων.] ἡ ἔκθεσις τῆς διπλῆς κώλων ἐστὶν ὁμοίων ἀναπαιστικῶν ιη. ὧν τὸ πρῶτον τρίμετρον βραχυκατάληκτον. τὰ δὲ ἑξῆς δίμετρα ἀκατάληκτα, πλὴν τοῦ δωδεκάτου καὶ ἑπτακαιδεκάτου, ἀναπαιστικῶν βάσεων παρατελεύτων καλουμένων, καὶ τοῦ τελευταίου ἑφθημιμεροῦς ὄντος, καὶ παροιμιακοῦ ὡς εἴρηται καλουμένου. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι. Χρήσθων.] κατὰ δυϊκὴν προφορὰν ὡς δυϊκὸν ἔχον τὸν σχηματισμόν. πληθυντικῶς δὲ νῦν λέλεκται χρήσθωσαν. ἀττικὴ δὲ ἡ τοιαύτη σύνταξις. οἷον ποιούντων ἐκεῖνοι, ἀντὶ τοῦ ποιήτωσαν. φρονούντων, ἀντὶ τοῦ φρονείτωσαν, ὡς καὶ ἐνταῦθα. νῦν φησι, τὴν ἐξουσίαν αὐτοῖς παραδίδωμι τοῦ ἐμαυτοῦ σώματος. Τύπτειν.] ὑπὲρ τοῦ πιστεύεσθαι ἐμμένειν αὐτὸν τοῖς ὑποκειμένοις, προσέθηκε πλέον ἢ ἐκεῖνοι προσέταξαν. ὁ γὰρ τὸ μεῖζον ἐπαγγελλόμενος ὑπομένειν,

πῶς οὐκ ἂν τὸ ἧττον ἐνέγκοι ῥαδίως. Ασκὸν δέρειν.] ἀντὶ τοῦ τὸ σῶμα ἐκδέρειν, εἰ δέοι καταφρονήσειν ἐκδερομένου τοῦ σώματος. Ιτης.] ἰταμός. ἀναιδής. καὶ διὰ αὐτῶν χωρῶν τῶν πραγμάτων. Βδελυρός.] καὶ τὸν πόρνον οὕτως ἐκάλουν, ὡς ἐν τῷ κατὰ Τιμάρχου Αἰσχίνης. καὶ τὸν μίσους ἄξιον. καὶ τὸ μισεῖσθαι βδελύττεσθαι. ἢ τὸν ἀνελεύθερον. τὸ δὲ ψευδῶν συγκολλητής, ἀντὶ τοῦ ψευδοπλάστης. Κύρβις.) ἡ σανὶς ἔνθα ἦσαν οἱ νόμοι γεγραμμένοι. λέγει οὖν, εἰ ταῦτα

G ἄλλα δόξαιμι τοῖς πολλοῖς καὶ ἔμπειρος εἶναι τῶν νόμων καὶ τῶν λόγων, ἡδέως ἂν ὑπομείναιμι πᾶν ὁτιοῦν παθεῖν. ἄλλως. κύρβις ὁ περίεργος. ὃν οὐκ ἔστι λαβεῖν. ἢ μνήμων. καὶ γὰρ αἱ κύρβεις πρὸς μνήμην εἰργάζοντο. Απολλόδωρος δέ φησι πᾶσαν δημοσίαν γραφὴν καὶ νόμους κύρβιν καλεῖσθαι. ὅτι οἱ ἀρχαῖοι λίθους ἱστάντες, τὸ δόξαν ἀνέγραφον τες, οὓς μὲν ἀπὸ τῆς στάσεως στήλας, κύρβεις δὲ ἀπὸ τοῦ εἰς ὕψος